ΜΗΤΡΙΧΗ
Θ̣[ρέισ]σα, ἀράσσει τὴν θύρην τις· οὐκ ὄψηι
μ[ή] ̣τ[ις] παρ’ ἡμέων ἐξ ἀγροικίης ἥκει;
ΘΡΕΙΣΣΑ
τ̣ίς̣ ̣τ[ὴν] θ̣ύρην; ΓΥΛΛΙΣ ἐγὦδε. ΘΡ. τίς σύ; δειμαίνεις
ἆσσον προσελθεῖν; ΓΥ. ἢν ἰδού, πάρειμ’ ἆσσον.
<ΘΡ.> τίς δέ εἰ<ς> σύ; <ΓΥ.> Γυλλίς, ἡ Φιλαινίδος μήτηρ.
ἄγγειλον ἔνδον Μητρίχηι παρεῦσάν με.
ΘΡ. καλεῖ— <ΜΗ.> τίς ἐστιν; <ΘΡ.> Γυλλίς. <ΜΗ.> ἀμμίη Γυλλίς.
στρέψον τι, δούλη. τίς σε μοῖρ’ ἔπεισ’ ἐλθεῖν,
Γυλλίς, πρὸς ἡμέας; τί σὺ θεὸ̣ς π̣ρὸ̣ς ἀνθρώπους;
ἤδη γάρ εἰσι πέντε κου, δοκέω̣, [μ]ῆ̣ν̣[ε]ς̣
ἐξ οὗ σε, Γυλλίς, οὐδ’ ὄναρ, μὰ τὰς Μοίρας,
πρὸς τὴν θύρην ἐλθοῦσαν εἶδέ τις ταύτην.
ΓΥ. μακρὴν ἀποικέω, τέκνον, ἐν δὲ τῆις λαύρηις
ὁ πηλὸς ἄχρις ἰγνύων προσέστηκεν,
ἐγὼ δὲ δραίνω μυῖ’ ὅσον· τὸ γὰρ γῆρας
ἡμέ˩ας καθέλκει καὶ σκιὴ παρέστηκεν.
[ΜΗ.] ...].ε καὶ μὴ τοῦ χρόνου καταψεύδεο·
......]. γὰρ, Γυλλί, κἠτέρους ἄγχειν.
ΓΥ. σίλλ[α]ι̣ν̣ε· ταῦτα τῆις νεωτέρηις ὗμιν
πρόσεστιν. <ΜΗ.> ἀλλ’ οὐ τοῦτο μή σε θερμήνηι.
<ΓΥ.> ἀλλ’ ὦ τέκνον, κόσον τιν’ ἤδη χηραίνεις
χρόνον μόνη τρύχουσα τὴν μίαν κοίτην;
ἐξ οὗ γὰρ εἰς Αἴγυπτον ἐστάλη Μάνδρις
δέκ’ εἰσὶ μῆνες, κοὐδὲ γράμμα σοι πέμπει,
ἀλλ’ ἐκλέλησται καὶ πέπωκεν ἐκ καινῆς.
κεῖ δ’ ἐστὶν οἶκος τῆς θεοῦ· τὰ γὰρ πάντα,
ὅσσ’ ἔστι κου καὶ γίνετ’, ἔστ’ ἐν Αἰγύπτωι·
πλοῦτος, παλαίστρη, δύναμι[ς], εὐδίη, δόξα,
θέαι, φιλόσοφοι, χρυσίον, νεηνίσκοι,
θεῶν ἀδελφῶν τέμενος, ὁ βασιλεὺς χρηστός,
Μουσῆιον, οἶνος, ἀγαθὰ πάντ’ ὅσ’ ἂν χρήιζηι,
γυναῖκες, ὁ̣κόσους οὐ μὰ τὴν Ἅιδεω Κούρην
ἀ̣σ̣τ̣έρας ἐνεγκεῖν οὐραν[ὸ]ς κεκαύχηται,
̣τ̣ὴ̣ν δ’ ὄψιν οἷαι πρὸς Πάρι[ν] κοτ’ ὥρμησαν
.... κρι]θῆναι καλλονήν—λάθοιμ’ αὐτάς
......]. κο[ί]ην οὖν τάλαιν[α] σὺ ψυχήν
ἔ]χ̣ο̣[υσ]α̣ θάλπεις τὸν δίφρον; κατ’ οὖν λήσεις
......] καί σευ τὸ ὥριον τέφρη κάψει.
.....]νον ἄλληι κἠμέρας μετάλλαξον
τὸ]ν ν̣οῦν δύ’ ἢ τρεῖς, κἰλαρὴ κατάστηθι
(.).....ις ἄλλον· νηῦς μιῆς ἐπ’ ἀγκύρης
οὐκ] ἀ̣σ̣φ̣α̣λ̣ὴ̣ς ὁ̣ρ̣μ̣ε̣ῦ̣σ̣α̣· κεῖνος ἢν ἔλθηι
........]..[..]ν[.] μηδὲ εἷς ἀναστήσηι
ἡ]μέας̣ ....τοδινα̣ δὲ ἄγριος χειμών
..[.............].. κοὐδὲ εἷς οἶδεν
.......]ν ἡμέων ἄστατος γὰρ ἀνθρώποις
......].λ̣η[.]ς. ἀλλὰ μήτις ἕστηκε
σύνεγγυ̣ς ἧμιν; <ΜΗ.> οὐδὲ ε[ἷ]ς. <ΓΥ.> ἄκουσον δή
ἅ σοι χρ[εΐ]ζουσ’ ὧδ’ ἔβην ἀπαγγεῖλαι·
ὁ Ματαλ[ί]νης τῆς Παταικίου Γρύλλος,
ὁ πέντε νικέων ἆθλα, παῖς μὲν ἐν Πυθοῖ,
δὶς δ’ ἐ̣ν Κορίνθ̣ωι τοὺς ἴουλον ἀνθεῦντας,
ἄνδρας δὲ Πίσ̣ηι δ̣ὶ̣ς κ̣αθεῖλε πυκτεύσας,
πλουτέων τ̣ὸ̣ κ̣α̣λ̣ό̣ν, οὐδὲ κάρφος ἐκ τῆς γῆς
κινέων, ἄθικτο̣ς ἐ̣ς Κ̣υ̣θηρίην σφρηγίς,

*ἰδών σε καθόδ̣ω̣ι ̣τῆ̣ς Μίσης ἐκύμηνε*
*τὰ σπλ̣ά̣γχ̣ν̣’ ἔρω̣τ̣ι κ̣αρδίην ἀνοιστρηθείς,*
*καί μευ̣ οὔτε νυκτὸς οὔτ’ ἐπ’ ἡμέρην λείπει*
*τὸ δῶμα̣, [τέ]κνον, ἀλλά μευ κατακλαίει*
*καὶ ταταλ[ί]ζει κ̣α̣ὶ ποθέων ἀποθνήισκει.*
*ἀλλ’, ὦ τ̣έ̣κνον μοι Μητρίχη, μίαν ταύτην*
*ἁμαρ̣τ̣ί̣η̣ν̣ δ̣ὸς ̣τῆι θ̣ε̣ῶι· κατάρτησον*
*σαυτήν, ̣τ̣ὸ [γ]ῆρας μ̣ὴ λ̣άθηι σε προσβλέψαν.*
*καὶ δοιὰ πρήξεις· ἡδε.[.]..[.].[..].[*
*δοθήσεταί τι μέζον ἢ δοκεῖς· σκέψαι,*
*πείσθητί μευ· φιλέω σε, να[ὶ] μὰ τὰς Μοίρας.*
MH. *Γυλλί, τὰ λευκὰ τῶν τριχῶν ἀπαμβλύνει*
*τὸν νοῦν· μὰ τὴν γὰρ Μάνδριος κ̣α̣τάπλωσιν*
*καὶ τὴν φίλην Δήμητρα, ταῦτ’ ἐγὼ [ἐ]ξ ἄλλης*
*γυναικὸς οὐκ ἂν ἡδέως ἐ̣π̣ήκουσ̣α,*
*χωλὴν δ’ ἀείδειν χώλ’ ἂν ἐξεπαίδευσα*
*καὶ τῆς θύρης τὸν οὐδὸν ἐχθρὸν ἡγεῖσθαι.*
*σὺ δ’ αὖτις ἔς με μηδὲ ἕν<α>, φ̣ίλη, τοῖον*
*φέρουσα χώρει μῦθον· ὃ̣ν̣ δ̣ὲ γρῄηισ̣ι*
*πρέπει γυναιξὶ τῆις νέηις ἀπάγγ̣ελλε·*
*τὴν Πυθέω δὲ Μητρίχην ἔα θάλπειν*
*τὸν δίφρον· οὐ γὰρ ἐνγελᾶι ̣τις εἰς Μάνδριν.*
*ἀλλ’ οὐχὶ τούτων, φασί, τῶν λ̣ό̣γων Γυλλίς*
*δεῖται· Θρέισσα, τὴν μελαινίδ’ ἔκτ[ρ]ιψον*
*κ̣ἠ̣κτημ̣όρους τρεῖς ἐγχέασ̣[α τ]ο̣ῦ̣ [ἀ]κρήτου*
*καὶ ὕδωρ ἐπιστάξασα δὸς πι̣ε̣ῖ[ν]. ΓΥ. κ̣α̣λῶς.*
<MH.> *τῆ, Γυλλί, πῖθι. <ΓΥ.> δεῖξον οὐ[.]......πα.[*
*πείσουσά σ’ ἦλθον, ἀλλ’ ἕ̣κ̣η̣[τι] ̣τῶν ̣ἱρῶν.*
<MH.> *ὧν οὕνεκέν μοι, Γυλλί, ὠνα[*
<ΓΥ.> *]οσσοῦ γένοιτο, μᾶ, τέ̣κνον π[.]..........*
*ἡδύς γε· ναὶ Δήμητρα, Μητρ[ί]χη, ̣τ̣ρ̣ύ̣τ̣[ου*
*ἡδίον’ οἶνον Γυλλ̣ὶς οὐ πέ[π]ω̣κ̣έ̣ν̣ [κω.*
*σὺ δ’ εὐτύχει μοι, τέκνον, ἀσ[φα]λίζ[ε]υ̣ [δέ*
*σαυτήν· ἐμοὶ δὲ Μυρτάλη τε κ[αὶ Σ]ίμη*
*νέαι μένοιεν, ἔστ’ ἂν ἐνπνέῃ̣[ι] Γυλλίς.*